# 25 OCTOMBRIE
# GHERASIM MIKRAGHIANANITUL

# ACATISTUL SF.CUVIOASE TAVITA DE LA IOPPE



## ACATISTIERUL PE OCTOMBRIE-GR


Стаѧ прав
Тавифа
Блжени
млтивіи
ıакѡ тіи
поми-
ловани
бѫдѫтъ.
IconSV.ru

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΗΣ
# ΑΓΙΑΣ ΤΑΒΙΘΑ

Μαθητρίας τοῦ Χριστοῦ τῆς Ἐλεήμονος τῆς ἀνυσάσης τὸν Βίον αὐτῆς ἐν ἐλέει Ἐν Ἰόππῃ·

Μετά τοῦ παρακλητικοῦ κανόνος καὶ τῶν εἰκοσιτεσσάρων χαιρετιστηρίων οἴκων αὐτῆς.



Ὁ Ἀπόστολος Πέτρος ἀνιστᾶ τήν Ἁγία Ταβιθά ἐν Ἰόππη.

Χαῖρε Ταβιθὰ Ἁγία ὅτι ἀμφοτέρας τὰς χεῖρας ἐν ἐλέει ἐκτείνεις!

Ο ΕΚΔΟΤΗΣ
Ἀγαθάγγελος Βούρδουλας
Ἀρχιμανδρίτης
Ἱερὸς Ναὸς Ἡ Γέννησις τῆς Θεοτόκου
ΣΕΡΡΑΙ

www.tezaurliturgic.ro

τας πανευλαβῶς, πρὸ τῆς σῆς εἰκόνος, καὶ τούτοις ἀεὶ δίδου, τοῦ θεϊκοῦ ἐλέους, τὰ θεῖα δόματα.

Δέχου τὰς δεήσεις ἃς ἐκ ψυχῆς, Ταβιθὰ Ἁγία, σοὶ προσάγομεν οἱ πιστοί, καὶ Χριστὸν δυσώπει, δοῦναι τοῖς σοῖς ἱκέταις, τῶν οἰκτιρμῶν τῶν θείων, χάριν τὴν ἄφθονον.

Πᾶσαι τῶν Ἀγγέλων....

Τὸ τρισάγιον, τὰ συνήθη τροπάρια, ἐκτενὴς καὶ ἀπόλυσις, μεθ' ἣν τὸ ἑξῆς:

## Ἦχος β! Ὅτε ἐκ τοῦ ξύλου.

Σκεῦος εὐσπλαγχνίας θεϊκῆς, ὤφθης Ταβιθὰ μακαρία, Χριστοῦ μαθήτρια, πάντας θεραπεύουσα, ἐξ ὑπαρχόντων τῶν σῶν, καὶ πλουσίᾳ χρηστότητι, παρέχουσα πᾶσι, τοῖς ποικίλως πάσχουσι, χεῖρα σωτήριον· ὅθεν σοῦ δεόμεθα πάντες, πρέσβευε Χριστῷ ἐλεῆσαι, καὶ κατοικτειρῆσαι τὰς ψυχὰς ἡμῶν.

Δέσποινα πρόσδεξαι...

Τὴν πᾶσαν ἐλπίδα μου...

**Ταβιθὰ Θείου με ἀξίωσον οἶκτου Γερασίμῳ**
**σπεύδοντι τοῖς Οἰκτειρμοῖς σου**

## Οἶκοι εἰκοσιτέσσαρες εἰς τὴν Ἁγίαν Ταβιθὰ τὴν Ἐλεήμονα.

**Κοντάκιον. Ἦχος πλ. δ! Τῇ ὑπερμάχῳ**

Ὡς τοῦ Σωτῆρος οὐρανόφρονα μαθήτριαν
Καὶ εὐσπλαγχνίας θεϊκῆς εἰκόνα ἔμψυχον
Ταβιθὰ σε ἀνυμνοῦμεν ᾀσμάτων ὕμνοις.
Ἀλλ' ὡς μύστις τῆς ἐνθέου ἀγαθότητος
Ἐξιλέωσαι ἡμῖν τὸν μόνον Εὔσπλαγχνον
Τοῖς βοῶσί σοι, χαῖρε σκεῦος τῆς χάριτος.

Ἄγγελος θυμηδίας, ἀνεδείχθης Ἁγία, τοῖς πάσχουσι ποικίλως ἐν κόσμῳ· (ἐκ γ!) διὸ ἀγγελικαῖς σε τιμαῖς, Ταβιθὰ Χριστὸς ἀξίως ἐτίμησεν· Ὃν ἵλεων ἀπέργασαι, τοῖς ἐκβοῶσοί σοι τοιαῦτα·

Χαῖρε, δι' ἧς οἱ πτωχοὶ σκιρτῶσι·
Χαῖρε, δι' ἧς δυσμενεῖς σιγῶσι.
Χαῖρε, τῆς ἀγάπης τῆς θείας θησαύρισμα·
Χαῖρε, τῆς σοφίας τῆς ἄνω κατάλυμα.
Χαῖρε, ὕψος τῆς ἐκ πράξεων ἱερῶν περιωπῆς·
Χαῖρε, βάθος τῆς φρονήσεως δι' ἐνθέου ἀρετῆς.
Χαῖρε, ὅτι Κυρίου ὑπεδέξω τὴν χάριν·
Χαῖρε, ὅτι ἐμφρόνως ἀπεσείσω τὴν πλάνην.
Χαῖρε, εἰκὼν πλουσίας χρηστότητος·
Χαῖρε, λαμπὰς φωτὸς τῆς Θεότητος.
Χαῖρε, κλεινοῖς Ἀποστόλοις συνοῦσα·
Χαῖρε, χαρᾶς ἀληθοῦς μετασχοῦσα.
**Χαῖρε, σκεῦος τῆς χάριτος.**

www.tezaurliturgic.ro

Βλέμμα τὸ τῆς ψυχῆς σου, πρὸς τὴν δόξαν Κυρίου, τελείᾳ ἀνατείνασα γνώμῃ, ἐδέξω τὸ τῆς πίστεως φῶς, καὶ ἀληθὴς Χριστοῦ ὤφθης μαθήτρια, Ταβιθὰ ὅθεν ἔκραζες, τῷ δεδωκότι σοι τὴν χάριν.

**Ἀλληλούϊα.**

Γέγονας ἐν Ἰόππῃ, οἷα χάριτος πλήρης, ὑπόδειγμα ζωῆς ἐναρέτου, καὶ πρυτανεῖον ὤφθης καλῶν, Εὐαγγελίου πληροῦσα τὸ πρόσταγμα· διὸ τοὺς θείους τρόπους σου, θαυμάζοντες ἀναβοῶμεν·

Χαῖρε, Χριστοῦ τὸν νόμον πληροῦσα·
Χαῖρε, ἐχθροῦ τὸ κράτος σοβοῦσα.
Χαῖρε, ἐναρέτου ζωῆς ὑποτύπωσις·
Χαῖρε, ζωηφόρων ῥημάτων ἐκπλήρωσις.
Χαῖρε, κλῆμα εὐφορώτατον τῆς ἀμπέλου τῆς ζωῆς·
Χαῖρε, ἄγγος τὸ πληρέστατον εὐφροσύνης μυστικῆς.
Χαῖρε, ὅτι ἐδέξω τὸν οὐράνιον πλοῦτον·
Χαῖρε, ὅτι παρέχεις δαψιλῶς πᾶσι τοῦτον.
Χαῖρε, χηρῶν ταχεῖα ἐπίσκεψις·
Χαῖρε, πτωχῶν πλουσία χορήγησις.
Χαῖρε, γυμνῶν ἔνδυμα σωτηρίας·
Χαῖρε, πολλῶν στόμα παρηγορίας.
**Χαῖρε, σκεῦος τῆς χάριτος.**

Δύναμιν ἀσθενέσι, καὶ πάσχουσι θεραπείαν, παρέχουσα πλουσίᾳ καρδίᾳ, δοξάζεις δι᾽ αὐτῶν τὸν Χριστόν, παρ᾽ οὗ δόξῃ ἀθανάτῳ δεδόξασαι· καὶ νῦν ἀΰλως Ταβιθά, τῷ φιλανθρώπῳ Θεῷ ψάλλεις·

**Ἀλληλούϊα.**

Ἔλαμψας ἐν Ἰόππῃ, προτερήμασι θείοις, θεόφρον Ταβιθὰ μακαρία, καὶ τῇ Ἐκκλησίᾳ τοῦ Χριστοῦ, τὰς ἀκτῖνας τοῦ βίου σου ἐφήπλωσας, ὑφ᾽ ὧν καταυγαζόμενοι, βοῶμέν σοι ἐν εὐφροσύνῃ·

Χαῖρε, καρδία ἡ ἐλεήμων·
Χαῖρε, ἐν πᾶσιν ἡ φιλοικτίρμων.
Χαῖρε, τοῦ ἐλέους πηγάζουσα νάματα·
Χαῖρε, τῶν Ἀγγέλων ζηλοῦσα τὰ τάγματα.
Χαῖρε, ὅτι τὸ φιλάνθρωπον ἐμιμήσω τοῦ Θεοῦ·
Χαῖρε, ὅτι τὸ μισάνθρωπον ἐβδελύξω τοῦ ἐχθροῦ.
Χαῖρε, τῶν πενομένων δαψιλὴς χορηγία·
Χαῖρε, τῶν λυπουμένων συμπαθὴς θυμηδία.
Χαῖρε, Χριστοῦ δεχθεῖσα τὴν ἔλλαμψιν·
Χαῖρε, ἐχθροῦ πατοῦσα τὴν ἔπαρσιν.

Χαῖρε, ψυχῶν θεραπεύουσα ἄλγη·
Χαῖρε, πιστοῖς βοηθοῦσα ἐν πᾶσι.
**Χαῖρε, σκεῦος τῆς χάριτος.**

Ζωσάν σε τὴν θανοῦσαν, δέδωκε τοῖς θρηνοῦσιν, ὁ Πέτρος Ἀποστόλων ὁ πρῶτος, τοῖς πᾶσιν ἐκφαίνων δι' αὐτοῦ, τῆς πολιτείας σου σεμνὴ τὰς χάριτας, καὶ πάντες σύν σοὶ ἔκραζον, Ταβιθὰ Χριστῷ τῷ Σωτῆρι·

**Ἀλληλούϊα.**

Ἤγειρέ σε ὁ Πέτρος, κατελθὼν ἐν Ἰόππῃ, τῇ νεύσει τοῦ τὰ πάντα ποιοῦντος, καὶ ἐχάρησαν σφόδρα σεμνή, ἀπολαβόντες σε ζῶσαν οἱ ἅγιοι, μεθ' ὧν ἀεὶ ἱκέτευε, ὑπέρ ἡμῶν τῶν σοὶ βοώντων·

Χαῖρε, τῷ βίῳ λελαμπρυσμένη·
Χαῖρε, τῷ λόγῳ καθηγνισμένη.
Χαῖρε, ἡ θανοῦσα τῷ νόμῳ τῆς φύσεως·
Χαῖρε, ἡ ἀναστᾶσα τῷ λόγῳ τῆς πίστεως.
Χαῖρε, ἄνθος εὐωδέστατον νόμου τοῦ πνευματικοῦ·
Χαῖρε, πλοῦτος ἀνεξάντλητος οἴκτου τοῦ ἐξ οὐρανοῦ.
Χαῖρε, ὅτι ἀμφοτέρας τὰς χεῖρας ἐν ἐλέει ἐκτείνεις·
Χαῖρε, ὅτι τὴν φλόγα τῆς ἐνδείας σβεννύεις.
Χαῖρε, Χριστοῦ κινοῦσα τὸ εὔσπλαγχνον·
Χαῖρε, ἐχθροῦ νεκροῦσα τὴν ἔφοδον.
Χαῖρε, σεμνῶν γυναικῶν κοσμιότης·
Χαῖρε, ψυχῶν τεθλιμμένων φαιδρότης.
**Χαῖρε, σκεῦος τῆς χάριτος.**

Θεραπεύουσα οἴκτῳ, καὶ πολλῷ ἐν ἐλέει, σεμνὴ τὸν χορηγὸν τοῦ ἐλέους, θεράπαινα αὐτοῦ εὐκλεής, καὶ Ἀποστόλων σύμνους ἐχρημάτισας, ὡς εὐκλεὴς μαθήτρια, Ταβιθὰ βοῶσα Κυρίῳ.

**Ἀλληλούϊα.**

Ἰησοῦ τῷ Σωτῆρι, προσελθοῦσα Ἁγία, ἐν πίστει καὶ ἀγάπῃ τελείᾳ, τῶν ἐντολῶν αὐτοῦ πληρωτής, περιφανὴς Ταβιθὰ ἀναδέδειξαι· ὧν τῷ φωτὶ καταύγασον, τοὺς εὐλαβῶς σοι ἐκβοῶντας·

Χαῖρε, λυχνία ἡ φωτοφόρος·
Χαῖρε, ἁγία ἡ θεοφόρος.
Χαῖρε, τοῦ Σωτῆρος θεράπαινα ἔνθεος·
Χαῖρε, Ἀποστόλων τῶν θείων συνέστιος.
Χαῖρε, ὅτι λαμπρῶς ἔδειξας τῆς ἀγάπης τὴν ἰσχὺν·
Χαῖρε, ὅτι ὑποδέδεξαι τὴν τοῦ Πνεύματος αὐγήν.

www.tezaurliturgic.ro

Χαῖρε, τῆς εὐποιΐας ὁ κατάκαρπος φοίνιξ·
Χαῖρε, τῆς συμπαθείας ἡ γλυκύφωνος ἴυγξ.
Χαῖρε, ἠθῶν ἁγίων γεώργιον·
Χαῖρε, σεπτῶν χαρίτων κειμήλιον.
Χαῖρε, πολλῶν ἡ κουφίζουσα πόνον·
Χαῖρε, ψυχῶν καταπαύουσα στόνον.
**Χαῖρε, σκεῦο. τῆς χάριτος.**

Κήρυκες ἐν Ἰόππη καὶ πάσῃ τῇ Ἐκκλησίᾳ, οἱ ἀπολαύσαντες τῶν καλῶν σου, ἐγένοντο σεμνὴ Ταβιθά, καὶ τοῦ Χριστοῦ τὸ ὄνομα ἐδόξαζον, μιᾷ φωνῇ οἱ ἅπαντες, σὺν σοὶ βοῶντες·

**Ἀλληλούϊα.**

Λύτρωσιν αἰωνίαν, ἐν Χριστῷ εὑραμένη, τῷ αἵματι αὐτοῦ ἁγνισθεῖσα, λυτροῦσαι ἐνδείας χαλεπῆς, ταῖς δαψιλέσι σου χερσὶν ὑπέρτιμε, τοὺς ἐν αὐτῇ στενάζοντας, ἀλλ' ἐκβοῶντά σοι ἐκ πόθου·

Χαῖρε, τῆς λύπης ἡ ἐναιρέτις·
Χαῖρε, τῆς χάριτος χορηγέτις.
Χαῖρε, ὀδυνῶν τῶν ἐν βίῳ κατάπαυσις·
Χαῖρε, ὀρφανῶν καὶ πασχόντων ἀνάπαυσις.
Χαῖρε, στήλη θεοτύπωτος οὐρανίων ἀρετῶν·
Χαῖρε, βρύσις θεοβράβευτος θεοσδότων οἰκτιρμῶν.
Χαῖρε, ὅτι εὐφραίνεις λυπουμένας καρδίας·
Χαῖρε, ὅτι πυρσεύεις εὐσεβῶν τὰς ἐννοίας.
Χαῖρε, Χριστοῦ τὸ κάλλος ποθήσασα·
Χαῖρε, σεμνῶς τὸν βίον ἀνύσασα.
Χαῖρε, χαρᾶς κληρονόμε ἀλήκτου·
Χαῖρε, τρυφῆς κοινωνὲ οὐρανίου.
**Χαῖρε, σκεῦος τῆς χάριτος.**

Μαθητῶν τοῦ Σωτῆρος, σύσκηνος γεγονυῖα, ἐπλήσθης ἀληθοῦς θεαυγείας, καὶ μαθήτρια Χριστοῦ κλεινή, ἐν τῷ κόσμῳ Ταβιθὰ ἀναδέδειξαι, σωφρόνως διανύουσα, τὴν ζωήν σου καὶ ἐκβοῶσα·

**Ἀλληλούϊα.**

Νόμον Εὐαγγελίου, τοὺς καρποὺς δρεπομένη, ἀμέμπτῳ πολιτείᾳ θεόφρον, ἐλαία ὤφθης κατὰ Δαβίδ, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ κατάκαρπος, ἐλαίῳ τῶν καμάτων σου, εὐφραίνουσα τοὺς σοὶ βοῶντας·

Χαῖρε, Θεοῦ τὴν χάριν πλουτοῦσα

www.tezaurliturgic.ro

Χαῖρε, ἐχθροῦ τὴν πλάνην πατοῦσα.
Χαῖρε, οἰκτιρμῶν ψυχοτρόφων ἀνάβλυσις·
Χαῖρε, πολλαχῶς τρυχομένων ἀνάψυξις.
Χαῖρε, ὅτι ἐπεκούρησας χήραις τε καὶ ὀρφανοῖς·
Χαῖρε, ὅτι ἐβοήθησας πάσχουσί τε καὶ πτωχοῖς.
Χαῖρε, γυμνητευόντων ἔνδυμα εὐφροσύνης·
Χαῖρε, τῶν ἐν χηρείᾳ ἔπαλξις σωφροσύνης.
Χαῖρε, Χριστὸν ἐν βίῳ δοξάσασα·
Χαῖρε, πολλῷ ἐλέει ἐκλάμψασα.
Χαῖρε, θεσμῶν θεοσδότων κιννύρα·
Χαῖρε, Θεοῦ ἀγαθότητος λύρα.
**Χαῖρε, σκεῦος τῆς χάριτος.**

**Ξ**ένοις τε καὶ οἰκείοις, δαψιλῶς ἐβοήθεις, καὶ πᾶσι τοῖς ἐν πόνοις τελοῦσιν· ἔνθεν ὁ ἐλεήμων Χριστός, ὡς ἄγαν σε ἐλεήμονα ὕψωσεν, ἁγιότητος χάρισιν· ᾧ Ταβιθὰ ἀεὶ προσάδεις·

**Ἀλληλούϊα.**

**Ὅ**λη λελαμπρυσμένη, εὐσπλαγχνίας τῇ αἴγλῃ, καὶ τῆς φιλαδελφίας τοῖς τρόποις, μετέστης τῷ Θεῷ ἐν χαρᾷ, καὶ κατὰ μέθεξιν θείαν δεδόξασαι, Ταβιθὰ παμμακάριστε· διό ἅπαντές σοι βοῶμεν·

Χαῖρε, Ἀγγέλων ἡ συμπολῖτις·
Χαῖρε, πασχόντων ταχεῖα ῥύστις.
Χαῖρε, ἡ ὁρῶσα Χριστοῦ τὴν λαμπρότητα·
Χαῖρε, ἡ λαβοῦσα τὴν ἄνω φαιδρότητα.
Χαῖρε, ξύλου ἀπολαύουσα τῆς ζωῆς θεουργικῶς·
Χαῖρε, δόξης ἡ μετέχουσα κρείττονος ὑπερφυῶς.
Χαῖρε, τῆς ἀφθαρσίας δεξαμένη τὸ γέρας·
Χαῖρε, καλῶς τῶν τῇδε εἰληφυῖα τὸ πέρας.
Χαῖρε, φωτὶ ἀΰλῳ ἐκλάμπουσα·
Χαῖρε, ἡμᾶς Κυρίῳ προσάγουσα.
Χαῖρε, πολλῶν δωρεῶν κοινωνοῦσα·
Χαῖρε, χοροῖς τῶν Ἁγίων συνοῦσα.
**Χαῖρε, σκεῦος τῆς χάριτος.**

www.tezaurliturgic.ro

Πίστεως ἐν τοῖς ἔργοις, ὡς ταμεῖον ἀγάπης, ἐνθέως Ταβιθὰ κοσμηθεῖσα, εὐκληρίας τῆς τῶν οὐρανῶν, ἐν μετοχῇ γενέσθαι κατηξίωσαι, ἧς μετασχεῖν ἀξίωσον, ταῖς πρεσβείαις σου τοὺς βοῶντας·

'Αλληλούϊα.

Ῥείθροις τοῦ σοῦ ἐλέους, τοὺς ἐν δίψῃ ἐνδείας, δεινῶς Ταβιθὰ συνεχομένους, ποτίζεις οἷα πηγὴ λογική, καὶ γλυκασμῷ τῶν συμπαθῶν ῥημάτων σου, ἐξαίρεις πάσης θλίψεως, τοὺς ἐκβοῶντάς σοι τοιαῦτα·

Χαῖρε, τὸ στόμα τῆς συμπαθείας·
Χαῖρε, τὸ ἄστρον τῆς εὐσπλαγχνίας.
Χαῖρε, πολυχεύμων πηγὴ ἀγαθότητος·
Χαῖρε, οὐρανόφρων γυνὴ καὶ θεόληπτος.
Χαῖρε, πῦρ τὸ θεῖον φέρουσα τὸ τῆς χάριτος ἐν σοί·
Χαῖρε, φῶς Θεοῦ τὸ ἄϋλον ἔχουσα ἐν τῇ ψυχῇ.
Χαῖρε, ὅτι ἐν ἔργοις ἐναρέτοις ἐμπρέπεις·
Χαῖρε, ὅτι τοὺς ἔνδον θησαυροὺς σου ἐκφαίνεις.
Χαῖρε, ἰσχὺς πτωχῶν καὶ περίθαλψις·
Χαῖρε, ἀλκὴ χηρῶν καὶ ἀντίληψις.
Χαῖρε, Θεοῦ θεωροῦσα τὴν δόξαν·
Χαῖρε, ἡμῖν θεῖα νέμουσα δῶρα.
**Χαῖρε, σκεῦος τῆς χάριτος.**

Στόματι πλήρει οἴκτου, φάρμακα σωτηρίας, προσῆγες τοῖς δεινῶς θλιβομένοις, Ταβιθὰ γυναικῶν καλλονή, τὴν κατὰ ψυχὴν καὶ σῶμα παράκλησιν, καὶ πᾶσαν ἀνακούφισιν, τοῖς τῷ Σωτῆρι ἐκβοῶσιν·

'Αλληλούϊα.

Τὸ τοῦ βίου σου κλέος, ὁ Λουκᾶς ὁ θεόφρων, παρίστησιν ἡμῖν θεηγόρως, μαθήτριάν σε τοῦ Χριστοῦ, ἐν ἐλέει καὶ οἰκτιρμοῖς διαπρέπουσαν, δηλῶν σε θείῳ στόματι, τοῖς μετὰ πόθου σοι βοῶσι·

Χαῖρε, Χριστοῦ δεχθεῖσα τὸ φέγγος·
Χαῖρε, ἐχθροῦ πατοῦσα τὸ μένος.

www.tezaurliturgic.ro

Χαῖρε, οὐρανίων προσόντων ἡ κάτοχος·
Χαῖρε, συμπαθείας δομάτων ἡ πάροχος.
Χαῖρε, δότειρα πανθαύμαστε ἐξ οἰκείων ἀγαθῶν·
Χαῖρε, μέτοχε ὑπέρτιμε ἀϊδίων θησαυρῶν.
Χαῖρε, ὅτι βλυστάνεις γλυκασμὸν τῆς ἀγάπης·
Χαῖρε, ὅτι σκεδάζεις τὴν πικρίαν τῆς πλάνης.
Χαῖρε, χορῶν Ἁγίων ὁμόσκηνος·
Χαῖρε, Χριστοῦ Μαθητῶν συνόμιλος.
Χαῖρε, ἡμῖν σωτηρίαν αἰτοῦσα·
χαῖρε, ἀεὶ τὴν Τριάδα αἰνοῦσα.
**Χαῖρε, σκεῦος τῆς χάριτος.**

**Ὕ**μνον εὐχαριστίας, τῷ Σωτῆρι προσῆγον, τῷ δόντι σοι πηγὴν συμπαθείας, οἱ τῶν σῶν εὐεργεσιῶν, δαψιλῶς καθ' ἑκάστην ἀπολαύοντες, Ταβιθὰ θεομακάριστε, καὶ πάντες σὺν σοὶ ἀνεβόων·

**Ἀλληλούϊα·**

**Φ**ῶς τὸ ἄδυτον βλέπεις, μεταστᾶσα τῶν τῆδε, πρὸς δόξαν Ταβιθὰ ἀφθαρσίας, καὶ τοῦ σοῦ βίου τὰς ἀμοιβὰς, ἐν τῇ ἄνω Σιὼν δρέπῃ λαμπρότατα, ὑπὲρ ἡμῶν πρεσβεύουσα, τῶν ἐκβοώντων σοι θεόφρον·

Χαῖρε, λαμπὰς φωτὸς τοῦ ἀΰλου·
Χαῖρε, εἰκὼν ἐναρέτου βίου.
Χαῖρε, Ἀποστόλων τὸν βίον ζηλώσασα·
Χαῖρε, ἐν Ἰόππῃ ἀμέμπτως βιώσασα.
Χαῖρε, ὅτι κατεσκήνωσας ἐν φωτὶ τῷ νοητῷ·
Χαῖρε, ὅτι πεπολίτευσαι βίῳ Εὐαγγελικῷ.
Χαῖρε, ἡ πεπλησμένη οὐρανίων χαρίτων·
Χαῖρε, ἡ ῥυομένη πειρασμῶν ἀδοκήτων.
χαῖρε, ἡμῶν προστάτις καὶ ἔφορος·
Χαῖρε, Χριστοῦ μαθήτρια ἔνθεος.

Χαῖρε, ψυχῶν ἡ καθαίρουσα ῥύπον·
Χαῖρε, πιστῶν δεχομένη τὸν ὕμνον.
**Χαῖρε, σκεῦος τῆς χάριτος.**

Χαίρουσα σύν Ἀγγέλοις, καὶ Ἁγίων χορείαις, Ἁγία Ταβιθὰ μακαρία, τὴν ἐν Θεῷ ἄληκτον χαράν, σύν αὐτοῖς ὑπέρ ἡμῶν Χριστῷ πρέσβευε, ῥύεσθαι πάσης θλίψεως, ὡς ἄν Θεῷ ἀεί βοῶμεν·

**Ἀλληλούϊα.**

Ψάλλοντες ἐν αἰνέσει, Ταβιθὰ ἀνυμνοῦμεν, τῶν σῶν προτερημάτων τὸν πλοῦτον· ἀλλ' εὐσπλαγχνίας τῆς θεϊκῆς, ῥᾶνον ἐφ' ἡμᾶς τὰς σταγόνας ἄνωθεν, καὶ οἴκτειρον δεόμεθα, τοὺς αὖθίς σοι ἀναβοῶντας·

Χαῖρε, δοχεῖον τοῦ Παρακλήτου·
Χαῖρε, τὸ κρίνον τοῦ Παραδείσου.
Χαῖρε, ἀφ' ἡμῶν πᾶσαν βλάβην ἐκτρέπουσα·
Χαῖρε, τῷ Χριστῷ ὑπέρ πάντων πρεσβεύουσα.
Χαῖρε, τέμενος τῆς χάριτος ὡς μαθήτρια Χριστοῦ·
Χαῖρε, σκήνωμα τοῦ κρείττονος ὡς θεράπαινα αὐτοῦ.
Χαῖρε, τῆς Ἐκκλησίας ἡ λαμπὰς ἡ φωσφόρος·
Χαῖρε, τῆς εὐσεβείας αἴγλη ἡ σελασφόρος.
Χαῖρε, δι' ἧς πταισμάτων ῥυσθήσομαι·
Χαῖρε, δι' ἧς Θεῷ προσαχθήσομαι.
Χαῖρε, πιστῶν πρὸς Χριστὸν μεσιτεία·
Χαῖρε, κἀμοῦ ἀληθὴς προστασία.
**Χαῖρε, σκεῦος τῆς χάριτος.**

Ὦ θεόφρον Ἁγία, Ταβιθὰ μακαρία, μαθήτρια Χριστοῦ θεοφόρε, (ἐκ γ!) δέχου οἱά περ δῶρον σεπτόν, ἡμῶν τὸν ὕμνον καὶ πᾶσι κατάπεμψον, ἐλέους σου τὰς χάριτας, ὡς ἄν πάντες Θεῷ βοῶμεν·

**Ἀλληλούϊα.**

www.tezaurliturgic.ro

## Καὶ αὖθις τὸ Κοντάκιον.

Ἦχος πλ. δ! Τῇ ὑπερμάχῳ.

Ὡς τοῦ Σωτῆρος οὐρανόφρονα μαθήτριαν
Καὶ εὐσπλαγχνίας θεϊκῆς εἰκόνα ἔμψυχον
Ταβιθά σε ἀνυμνοῦμεν ᾀσμάτων ὕμνοις.
Ἀλλ' ὡς μύστης τῆς ἐνθέου ἀγαθότητος
Ἐξιλέωσαι ἡμῖν τὸν μόνον εὔσπλαγχνον τοῖς Βοῶσι σοι,
**Χαῖρε, σκεῦος τῆς χάριτος.**

## Δίστιχα

Χαῖρε, Ταβιθὰ Βοῶντι ἐκ καρδίας
Γερασίμῳ Βράβευσον χαρὰν
τὴν Κρείττω!

Ἐκ τοῦ ἐλέους τοῦ σοῦ Ταβιθὰ
Δίδου Ἀγαθαγγέλῳ Ἱερομονάχῳ, Ἐκδόσαντι
τὰ ἱερὰ ἐφύμνια σῶν ἀρετῶν σου!

**Ο ΕΚΔΟΤΗΣ**
† ΑΡΧΙΜΑΝΔΡΙΤΗΣ
ΑΓΑΘΑΓΓΕΛΟΣ ΒΟΥΡΔΟΥΛΑΣ
ΕΦΗΜΕΡΙΟΣ ΙΕΡΟΥ ΝΑΟΥ
Η ΓΕΝΝΗΣΙΣ ΤΗΣ ΘΕΟΤΟΚΟΥ - ΣΕΡΡΩΝ